Ακαδημία Αθηνών / Academy of Athens

κὸς ὅρος), the fifth (musical term), Φιλόλαος 6.15-22 *ἁρμονίας δὲ μέγεθός ἐστι συλλαβὰ καὶ δι' ὀ ξ ε ι ᾶ ν· τὸ δὲ δι' ὀ ξ ε ι ᾶ ν μεῖζον τᾶς συλλαβᾶς ἐπογδόῳ. ἔστι γὰρ ἀπὸ ὑπάτας ἐπὶ μέσσαν συλλαβά, ἀπὸ δὲ μέσσας ἐπὶ νεάταν δι' ὀ ξ ε ι ᾶ ν, ἀπὸ δὲ νεάτας ἐς τρίταν συλλαβά, ἀπὸ δὲ τρίτας ἐς ὑπάταν δι' ὀ ξ ε ι ᾶ ν· τὸ δ' ἐν μέσῳ μέσσας καὶ τρίτας ἐπόγδοον· ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀ ξ ε ι ᾶ ν ἡμιόλιον, τὸ διὰ πασᾶν δὲ διπλόον. οὕτως ἁρμονία πέντε ἐπόγδοα καὶ δύο διέσιες, δι' ὀ ξ ε ι ᾶ ν δὲ τρία ἐπόγδοα καὶ δίεσις, συλλαβὰ δὲ δύ' ἐπόγδοα καὶ δίεσις.*

**ὀπηδεῖν.** Ἀκολουθῶ, follow, Παρμενίδης 2.4 *Ἀληθείῃ γὰρ ὀ π η δ ε ῖ.*

**ὄπισθεν.** Ὀπίσω, behind, Διογένης 6.19 *ἡ δὲ μεγίστη αὐτῶν ὄ π ι σ θ ε ν τείνει τοῦ μηροῦ.*

**ὁπλομαχικόν.** Περὶ ὁπλομαχίας, on armed warfare, Δημόκριτος 28c (τίτλ.) *Ὁ π λ ο μ α χ ι κ ό ν.*

**ὁποῖος** (τύπ. ὁκοῖος). Ὁποῖος/ὅποιος, of what kind, Ἡράκλειτος 1.6 *ἐπέων καὶ ἔργων τοιούτων, ὁ κ ο ί ω ν ἐγὼ διηγεῦμαι* 31 *θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον, ὁ κ ο ῖ ο ς πρόσθεν ἦν ἢ γενέσθαι γῆ* Ἀναξαγόρας 12.17-18 *καὶ ὁ π ο ῖ α ἔμελλεν ἔσεσθαι καὶ ὁ π ο ῖ α ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁ π ο ῖ α ἔσται, πάντα διεκόσμησε νοῦς* Δημόκριτος 235.7 *ὁκόταν γένηται ὁ κ ο ί ω ν ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται.* || **ὁποῖον.** Ὡς ἐάν, as if, Ἡράκλειτος 5.5 *καὶ τοῖς ἀγάλμασι δὲ τουτέοισιν εὔχονται, ὁ κ ο ῖ ο ν εἴ τις δόμοισι λεσχηνεύοιτο, οὔ τι γινώσκων θεοὺς οὐδ' ἥρωας οἵτινές εἰσι.*

**ὁρᾶν** (συνών. *βλέπειν, δέρκεσθαι, θεᾶσθαι, θεωρεῖν, λεύσειν*) **1.** Βλέπω, see, Ξενοφάνης 24 *οὖλος ὁ ρ ᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει* Ἡράκλειτος 21 *θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁ ρ έ ο μ ε ν, ὁκόσα δὲ εὕδοντες ὕπνος* 56.5-6 *ὅσα ε ἴ δ ο μ ε ν καὶ ἐλάβομεν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε ε ἴ δ ο μ ε ν οὔτ' ἐλάβομεν, ταῦτα φέρομεν* Μέλισσος 8(2)-(3)-(5) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ ... καὶ ἡμεῖς ὀρθῶς ὁ ρ ῶ μ ε ν καὶ ἀκούομεν ... νῦν δέ φαμεν ὀρθῶς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ὁ ρ ᾶ ν καὶ ἀκούειν καὶ συνιέναι ... ὥστε συμβαίνει μήτε ὁ ρ ᾶ ν μήτε τὰ ὄντα γινώσκειν ... οὐκ ὀρθῶς ἑ ω ρ ῶ μ ε ν* Ἐμπεδοκλῆς 21.3 *ἠέλιον μὲν λευκὸν ὁ ρ ᾶ ν καὶ θερμὸν ἁπάντῃ* 76.3 *ὄ ψ ε ι χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν* 118 *κλαῦσά τε καὶ κώκυσα ἰ δ ὼ ν ἀσυνήθεα χῶρον* Διογένης 5.23 *ὅμως δὲ πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁ ρ ᾷ καὶ ἀκούει, καὶ τὴν ἄλλην νόησιν ἔχει ἀπὸ τοῦ αὐτοῦ πάντα* Δημόκριτος 11.6 *ὅταν ἡ σκοτίη (*sc. *γνώμη) μηκέτι δύνηται μήτε ὁ ρ ῆ ν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι* 164.4 *καθάπερ ὁ ρ ᾶ ν πάρεστιν* **2.** Γνωρίζω, perceive/be aware of, Ξενοφάνης 34.1 *καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴ δ ε ν οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων* Ἐμπεδοκλῆς 39.3 *ὀλίγον τοῦ παντὸς ἰ δ ό ν τ ω ν* 109.1 *γαίῃ μὲν γὰρ γαῖαν ὀ π ώ π α μ ε ν, ὕδατι δ' ὕδωρ* Φιλόλαος 11.16 *ἴ δ ο ι ς δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις* Ἀρχύτας 1.5-39 *περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀ ψ ε ῖ σ θ α ι ... ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴ δ ο ι μ ε ς ἰσχυροτάτῳ σαμείῳ.* || **ὁρᾶσθαι.** Φαίνομαι/εἶμαι ὁρατός, appear/be visible, Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁ ρ ᾶ τ α ι ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται* 32.2 *πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰ δ έ σ θ α ι* Μέλισσος 8(4) *πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁ ρ ω μ έ ν ο υ* Ἐμπεδοκλῆς 35.17 *θαῦμα ἰ δ έ σ θ α ι.* Πρβλ. *αἰσθάνεσθαι, ἀκούειν, συνιέναι, εἰδέναι.*

**ὄργανον.** Ὄργανο, instrument, Δημόκριτος 11.8 ⟨ ... *τότε ἐπιγίνεται ἡ γνησίη ἅτε ὄ ρ γ α ν ο ν ἔχουσα τοῦ νῶσαι λεπτότερον*⟩ 159.6 *ὥσπερ ὀ ρ γ ά ν ο υ τινὸς ἢ σκεύους κακῶς ἔχοντος.* Πρβλ. *σκεῦος.*

**ὀρέγεσθαι.** Ἐπιθυμῶ, desire, Δημόκριτος 201 *ἀνοήμονες δηναιότητος ὀ ρ έ γ ο ν τ α ι οὐ τερπόμενοι δηναιότητι* 202 *ἀνοήμονες τῶν ἀπεόντων ὀ ρ έ γ ο ν τ α ι, τὰ δὲ παρεόντα καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν* 205 *ἀνοήμονες ζωῆς ὀ ρ έ γ ο ν τ α ι ... θάνατον δεδοικότες.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ